# TEZAUR LITURGIC

## 26 IULIE

NIKODIMOS AERAKIS

# SLUJBA SF.MUCENIȚE OREOZILA DE LA BIZANTION

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 26 ΙΟΥΛΙΟΥ
# ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΩΡΑΙΟΖΗΛΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εις το· Κύριε εκέκραξα, ιστώμεν στίχους δ’, και ψάλλομεν τα εξής Στιχηρά Προσόμοια. Ήχος α’. Των Ουρανίων Ταγμάτων.

Ωραιοζήλην εν ύμνοις επευφημήσωμεν, της παρθενίας τύπον, των Μαρτύρων το κλέος, τέκνον του Ανδρέου πνευματικόν, ισαπόστολον κήρυκα, Ευαγγελίου Κυρίου προς ασεβείς, ους εκ σκότους ηλευθέρωσεν. (Δις)

Ωραιοζήλης μαρτύριον ανυμνήσωμεν, του Λόγου ερασθείσα, τα του κόσμου ηρνήθη, πάσι δε εκήρυξε τον Χριστόν, ως Θεάνθρωπον Κύριον, Ω θαυμαστώς η πανένδοξος την ζωήν, ώσπερ σφάγιον κατέθυσεν.

Ωραιοζήλης τον βίον εγκωμιάσωμεν, των αρετών τον πλούτον, της ασκήσεως ζήλον, στήλην της θυσίας και προσευχής, εγκρατείας υπόδειγμα, ομολογίας αγίας δε του Χριστού, θεοδώρητον κειμήλιον.

Δόξα. Ήχος β’.

Δεύτε των πιστών ο σύλλογος, την Οσιοπαρθενομάρτυρα Ωραιοζήλη, εν εγκωμίων

ύμνοις, ενθεαστικώς επευφημήσωμεν. Αύτη γαρ του Αποστόλου Ανδρέου ακουτισθείσα, τον Χριστόν σφοδρώς ηγάπησε, και παρθενίας ερασθείσα, τα επίκηρα κατέλιπε, και εν παρθενώνι κατώκησεν. Αποστολικώς δε λειτουργήσασα, ως Μάρτυς Χριστού ετελειώθη, και υπ' Αυτού στεφθείσα, νυν αιωνίως αγάλλεται.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην Σου.

Εις τον Στίχον. Ήχος β'. Οίκος του Εφραθά.

Δεύτε θεοπρεπώς, κλεινήν Ωραιοζήλην, τιμήσωμεν εν ύμνοις, και γαρ υπέρ του Λόγου, ετύθη ώσπερ σφάγιον.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Χάριτι του Χριστού, σεπτή Ωραιοζήλη, κηρύττει τοις εν σκότει, Χριστού την Βασιλείαν, εν η νυν αναπαύεται.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Μάρτυς του Ιησού, σεμνή Ωραιοζήλη, της παρθενίας άνθος, και των Μαρτύρων εύχος, χαρίτωσον τους δούλους σου.

Δόξα. Τριαδικόν.

Πάτερ συν τω Υιώ, και Πνεύματι Αγίω, τους υμνητάς Σου σώζε, εκ πλάνης και κινδύνων, παγίδων τε του δράκοντος.

Και νυν. Θεοτοκίον.

Θύγατερ του Θεού, της Ναζαρέτ η κόρη, της Εκκλησίας πλούτος, ικέτευε Σον Τόκον, υπέρ αχρείων δούλων Σου.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ'. Θείας πίστεως.

Μέγα κλέισμα, ομολογίας, τέκνον ένθεον, του Πρωτοκλήτου, της ασκήσεως άριστον πρότυπον, και των Μαρτύρων κλεινόν ακροθίνιον, Ωραιοζήλην εν ύμνοις τιμήσωμεν, Μήτερ πάνσεμνε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Σε την μεσιτεύσασαν την σωτηρίαν του γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε· εν τη σαρκί γαρ τη εκ σου προσληφθείση, ο Υιός σου και Θεός ημών το δια Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το· Μακάριος ανήρ. Εις δε το· Κύριε εκέκραξα, ιστώμεν στίχους στ', και ψάλλομεν Στιχηρά Προσόμοια. Ήχος δ'. Ως γενναίον εν Μάρτυσιν.

Ωραιοζήλην εν άσμασιν, επαξίως τιμήσωμεν, και εν λόγοις άπαντες μεγαλύνωμεν, της παρθενίας το

κλέισμα, ασκήσεως πρότυπον, αρετής υπογραμμόν, και θυσίας το ένθεον, ακροθίνιον, των Μαρτύρων το κλέος και της άνω, Βασιλείας την πολίτιν, λαμπροφορούσαν εν Μάρτυσιν. (Δις)

Ωραιοζήλην υμνήσωμεν, του Ανδρέου αλίευμα, του Χριστού την νύμφην την πανσεβάσμιον, ομολογίας υπόδειγμα, Μαρτύρων το άγαλμα, βιαστών την καλλονήν, Αθλητών το αγλάϊσμα, και ασκήσεως, πρωτοτόκων Μαρτύρων συμπολίτιν, σαββατίζουσαν ενδόξως, υπερκοσμίοις σκηνώμασιν. (Δις)

Ωραιοζήλην την ένδοξον, ευσεβώς μεγαλύνωμεν, του Ανδρέου ένθεον τέκνον πνεύματος, της παρθενίας αγλάϊσμα, Χριστού αφομοίωμα, Αποστόλων του Χριστού, μιμηθείσα το ένθερμον, του κηρύγματος, Εκκλησίας την δόξαν και προστάτιν, των εν πίστει ευφημούντων, την ιεράν αυτής άθλησιν. (Δις)

Δόξα. Ήχος πλ. β’.

Σήμερον, εν ωδαίς πνευματικαίς, την της ισαποστόλου και Οσιοπαρθενομάρτυρος Ωραιοζήλης, μνήμην χαρμονικώς επιτελούντες, αυτή βοήσωμεν· χαίροις, του Πρωτοκλήτου Ανδρέου θαυμαστόν αλίευμα, και της αποστολικής διακονίας αυτού θεοδώρητον αντίγραφον· χαίροις, της παρθενίας έκπαγλον πρότυπον, και της ασκήσεως εξαίσιον άγαλμα· χαίροις, ομολογίας θεόσδοτον δώρημα, και του μαρτυρίου θεοπρόβλητον υπόδειγμα. Ως εστεμμένη εν ουρανοίς, Οσιοπαρθενομάρτυς Ωραιοζήλη, πρέσβευε υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Παροιμιών το Ανάγνωσμα.

(Κεφ, λα', λα’. 10. -20, 25)

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστον ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς εμπορευομένη μακρόθεν, συνάγει δε αύτη τον βίον. Και ανίσταται εκ νυκτών, και έδωκε βρώματα τω οίκω, και έργα ταις θεραπαίναις. Θεωρήσασα γεώργιον επρίατο, από δε καρπών χειρών αυτής, κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο ότι καλόν εστι το εργάζεσθαι, και ουκ αποσβέννυται όλην την νύκτα ο λύχνος αυτής. Τας χείρας αυτής εκτείνει επί τα συμφέροντα, τους δε πήχεις αυτής ερείδει εις άτρακτον.Χείρας δε αυτής διήνοιξε πένητι, καρπόν

δε εξέτεινε πτωχώ. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

Προφητείας Ησαΐου το ανάγνωσμα (Κεφ. ΜΓ’ 9-14)
Τάδε λέγει Κύριος· πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. τις αναγγελεί ταύτα; η τα εξ αρχής τις αναγγελεί υμίν; αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς, λέγει Κύριος ο Θεός, και ο παις μου, ον εξελεξάμην, ίνα γνώτε και πιστεύσητε και συνήτε ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός και μετ  εμού ουκ έσται. Εγώ ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων.Εγώ ανήγγειλα και έσωσα, ωνείδισα και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες και εγώ Κύριος ο Θεός. Έτι απ’ αρχάς και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος· ποιήσω, και τις αποστρέψει αυτό; Ούτως λέγει Κύριος ο Θεός ο λυτρούμενος υμάς, ο άγιος του Ισραήλ.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. ζ'.7)
Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη· και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ

φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Λιτή. Ήχος α’.

Η του Χριστού Εκκλησία, φαιδρώς και ευλαβώς, την της Οσιοπαρθενομάρτυρος Ωραιοζήλης, πανσεβάσμιον μνήμην τιμώσα, και την προς τον Χριστόν αυτής λατρείαν, εμμελετώσα, βοά προς αυτήν· Χαίροις, η αγαπήσασα το εσφαγμένον Αρνίον, και Αυτώ εκ καρδίας λέγουσα· Συ ει το Άλφα και το Ωμέγα, ο ων και ο ην και ο ερχόμενος, ο παντοκράτωρ. Συ ει ο μάρτυς ο πιστός, ο πρωτότοκος των νεκρών και ο άρχων των βασιλέων της γης. Αυτώ πρέσβευε αδιαλείπτως, Μάρτυς αληθής, του σώσαι τας ψυχάς των τιμώντων την μνήμην σου.

Ήχος β’.

Δεύτε, οι την πανσεβάσμιον μνήμην, της Αθληφόρου και καλλινίκου Μάρτυρος Ωραιοζήλης, λαμπρώς εορτάζοντες, την δόξαν αυτής τοις πέρασιν εξαγγείλωμεν. Αύτη γαρ δι’ ομολογίας και μαρτυρίου εισήλθεν εις ουράνια δώματα, καθορώντα τον εν μέσω των επτά λυχνιών όμοιον υιώ ανθρώπου, ενδεδυμένον ποδήρη και περιεζωσμένον προς τοις

μαστοίς ζώνην χρυσήν, τον έχοντα τους οφθαλμούς αυτού ως φλόγα πυρός, και ακούουσα την φωνήν αυτού ως φωνήν υδάτων πολλών. Αυτής πρεσβείαις, παράσχου ημίν Κύριε το μέγα Σου έλεος.

Ήχος γ'.

Εν τω άνω Σιών αυλιζομένη, ως τροπαιοφόρος Μάρτυς του Χριστού, η Οσιοπαρθενομάρτυς Ωραιοζήλη, αεννάως και μεθυστικώς ευφραίνεται, καθ' α φησιν υιός Ιωάννης· Τω νικώντι δώσω αυτώ φαγείν εκ του ξύλου της ζωής, ο εστιν εν τω Παραδείσω του Θεού μου, και· ο νικών ου μη αδικηθή εκ του θανάτου του δευτέρου. Ευφραινομένη ουν εκ του ξύλου της ζωής, και της ατελευτήτου ζωής του Παραδείσου, πρέσβευε Μάρτυς, όπως και ημείς αυτών αξιωθώμεν.

Ήχος δ'.

Άπασα η του Χριστού Εκκλησία, πανευφροσύνως εορτάζει, και ευλαβώς επί τη μνήμη της πανενδόξου Μάρτυρος Ωραιοζήλης πανηγυρίζει. Αύτη γαρ τον βελίαρ, και τους δυσσεβείς αθέους κατανικήσασα, εν ουρανίοις ενοικεί δώμασι, μεταλαμβάνουσα του μάννα του κεκρυμμένου, και λαβούσα ψήφον λευκήν, και επί την ψήφον όνομα καινόν γεγραμμένον, ο ουδείς οίδεν ει μη ο λαμβάνων. Λιταίς αυτής αγωνοθέτα Κύριε, και ημάς καταξίωσον λαβείν, α ητοίμασας τοις αγαπώσί Σε.

Δόξα. Ήχος πλ. α’.

Δεύτε, φιλομαρτύρων ο σύλλογος, θαύμα εξαίσιον κατίδωμεν, εν ουρανοίς τελούμενον. Η Οσιοπαρθενομάρτυς Ωραιοζήλη, τα του σατάν ένεδρα, χάριτι θεία φυγούσα, και σπονδήν το αίμα αυτής τω Χριστώ προσενεγκούσα, απολαύει τα νυν των υπό του Πνεύματος υπεσχημένων· Ο νικών ούτως περιβαλείται εν ιματίοις λευκοίς, και ου μη εξαλείψω το όνομα αυτού ενώπιον του Πατρός μου και ενώπιον των Αγγέλων Αυτού. Πρεσβείαις Κύριε της Μάρτυρος, και ημάς καταξίωσον καθ’ ημέραν νικάν τον αντικείμενον.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Εις τον Στίχον. Ήχος πλ. α’. Χαίροις ασκητικών.

Χαίροις, Ωραιοζήλη σεμνή, των πλανωμένων ο λαμπτήρ ο αείφωτος, της πλάνης η καθαιρέτις, και οδηγός των τυφλών, των εν σκότει ζώντων το διάσωσμα, παρθένων αγλάϊσμα, ασκητών το εντρύφημα, ενασκουμένων, θεοδώρητον άγαλμα, και υπόδειγμα, των Μαρτύρων εξαίσιον, πάντες κατασπαζόμενοι, εικόνα σου πάντιμον, θερμώς λιταίς σου προς Λόγον, δεόμεθά σου πανένδοξε, τυχείν σωτηρίας, και εν δώμασι Κυρίου, μακαριότητος.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Χαίροις, Ωραιοζήλη σεπτή, της παρθενίας το ευώδες κειμήλιον, ασκήσεως θείος τύπος, της αρετής ο κανών, μαρτυρίας κλέος και αγλάϊσμα, πιστών το εντρύφημα, ασεβείας ο έλεγχος, ομολογούντων, χαριτόβρυτον πρότυπον, Εκκλησίας τε, κόσμος όντως εξαίσιος, πάντες την σην πανίερον, τελούντες πανήγυριν, χάριν την σην εκζητούμεν, και σας πρεσβείαις προς Κύριον, τυχείν του ελέους, της Αυτού φιλανθρωπίας, και θείας χάριτος.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Χαίροις, Ωραιοζήλη κλεινή, το θεοδώρητον Ανδρέου αλίευμα, παρθένων τε και Μαρτύρων, θεοειδής οδηγός, αρετής ο πλούτος και το πρότυπον, κηρύκων το έρεισμα, των εν πλάνη η σώτειρα, ομολογίας, θαυμαστόν ακροθίνιον, αληθείας τε, του Χριστού η διδάσκαλος, πάντες ενθέοις άσμασι, και λόγοις πανένδοξε, βίον τον σον επαινούμεν, και τας λιτάς σου προς Κύριον, αιτούμεθα μήτερ, ίνα λάβωμεν πλουσίως, το μέγα έλεος.

Δόξα. Ήχος πλ. β’.

Σήμερον, η του Χριστού Εκκλησία, την της Οσιοπαρθενομάρτυρος Ωραιοζήλης μνήμην τιμώσα, ταύτην μετά των πρωτοτόκων, εν Πνεύματι εν ουρανοίς καθορά, μεθ’ ων τα υπό του Κυρίου υπεσχημένα είληφεν· ο νικών, ποιήσω αυτόν στύλον εν τω ναώ του Θεού μου, και έξω ου μη εξέλθη έτι,

και γράψω επ’ αυτόν το όνομα του Θεού μου και το όνομα της πόλεως του Θεού μου, της καινής Ιερουσαλήμ, η καταβαίνει εκ του ουρανού από του Θεού μου, και το όνομά μου το καινόν. Και ημάς Κύριε, κατά το μέγα Σου έλεος, τούτων καταξίωσον.

Και νυν. Θεοτοκίον.

Ο ποιητής και λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ της σης νηδύος προελθών, εμέ ενδυσάμενος, της πρώην κατάρας, τον Αδάμ ηλευθέρωσε· διο σοι Πάναγνε, ως του Θεού Μητρί τε και Παρθένω αληθώς, βοώμεν ασιγήτως, το Χαίρε του Αγγέλου. Χαίρε Δέσποινα, προστασία και σκέπη, και σωτηρία των ψυχών ημών.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος γ’. Θείας πίστεως.

Μέγα κλέισμα, ομολογίας, τέκνον ένθεον, του Πρωτοκλήτου, της ασκήσεως άριστον πρότυπον, και των Μαρτύρων κλεινόν ακροθίνιον, Ωραιοζήλην εν ύμνοις τιμήσωμεν, Μήτερ πάνσεμνε, Χριστόν τον Θεόν ικέτευε, δωρήσασθαι ημίν το μέγα έλεος.

Και νυν. Θεοτοκίον.

Σε την μεσιτεύσασαν την σωτηρίαν του γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε· εν τη σαρκί γαρ τη εκ σου προσληφθείση, ο Υιός σου και Θεός ημών το δια Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Απόλυσις.

# ΟΡΘΡΟΣ

Μετά την α’ στιχολογίαν,

κάθισμα. Ἠχος γ’. Την ωραιότητα.

Ομολογίας σου, το υπερθαύμαστον, και μαρτυρίου σου, το αξιάκουστον, η Εκκλησία εν ωδαίς γεραίρει Ωραιοζήλη, όθεν ο Θεάνθρωπος, μαρτυρίου τον στέφανον, και ζωής της κρείττονος, την χαράν σοι δεδώρηται, διο εν ουρανοίς νυν ευφραίνη, μήτερ ως Μάρτυς τρισολβία.

Δόξα.

Της παρθενίας σου, το αξιάγαστον, και των αγώνων σου, το αξιΰμνητον, η οικουμένη εν χαρά τιμά σε Ωραιοζήλη, όθεν το υπεράνθρωπον, των ασκήσεων στέφανον, και ομολογίας σου, το διάδημα έλαβες, διο εν ουρανοίς νυν ευφραίνη, μήτερ ως Μάρτυς τρισολβία.

Και νυν. Θεοτοκίον.

Τον ακατάληπτον, και απερίγραπτον, τον ομοούσιον, Πατρί και Πνεύματι, εν τη γαστρί σου μυστικώς εχώρησας Θεομήτορ, μίαν και ασύγχυτον, της Τριάδος ενέργειαν, έγνωμεν τω Τόκω σου, εν τω κόσμω δοξάζεσθαι· διο και ευχαρίστως βοώμέν σοι· Χαίρε η Κεχαριτωμένη.

Μετά την β’ στιχολογίαν,

κάθισμα. Ἠχος α’. Τον τάφον Σου Σωτήρ.

Την Μάρτυρα Χριστού, του Ανδρέου το τέκνον, εν λόγοις και ωδαίς, ευφημήσωμεν πάντες, κηρύττοντες

τοις πέρασι, την σεπτήν αυτής άθλησιν, και μαρτύριον, υπέρ του θείου Νυμφίου, Ο υπέμεινε Ωραιοζήλη η θεία, Χριστού το εκτύπωμα.

Δόξα.

Σεμνή και ευσεβής, και μαθήτρια θεία, Ανδρέου του σοφού, Πρωτοκλήτου Κυρίου, τιμώμεν και σέβομεν, και υμνούμεν γεραίρομεν, ότι ήθλησεν, υπέρ του θείου Νυμφίου, Ο υπέμεινε Ωραιοζήλη η θεία, Χριστού το εκτύπωμα.

Και νυν. Θεοτοκίον.

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, και μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, προς την σην αγαθότητα· σε γαρ έχομεν, αμαρτωλοί προστασίαν· σε κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν την μόνην πανάμωμον.

Μετά τον Πολυέλεον,

κάθισμα, Ήχος δ’. Κατεπλάγη Ιωσήφ.

Καταπλήττεις ασεβείς, τη θαυμαστή υπομονή, και κηρύττεις τοις πιστοίς, Ωραιοζήλη του Χριστού, την παντοδύναμον χάριν εν μαρτυρίω, όθεν ως Θεός, σε εδόξασε, πύλην ουρανού, σοι ηνέωξε, και εν τιμή εδέξατό σε Μάρτυς, εν ουρανίοις σκηνώμασιν, Χριστέ πρεσβείαις, της καλλινίκου, σώσον τας ψυχάς ημών.

Δόξα. Και νυν. Θεοτοκίον, όμοιον.

Κατεπλάγησαν Αγνή, πάντες Αγγέλων οι χοροί, το Μυστήριον της σης, κυοφορίας το φρικτόν, πως ο τα πάντα συνέχων νεύματι μόνω, αγκάλαις ως βροτός,

ταις σαις συνέχεται, και δέχεται αρχήν ο Προαιώνιος, και γαλουχείται σύμπασαν ο τρέφων, πνοήν αφάτω χρηστότητι, και σε ως όντως, Θεού Μητέρα, ευφημούντες δοξάζουσι.

Οι Αναβαθμοί· το α’ αντίφωνον του δ’ Ήχου.

Προκείμενον: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Ευαγγέλιον, μαρτυρικόν.

Ο Ν’ ψαλμός.

Δόξα: Ταις της Αθληφόρου πρεσβείαις Ελεήμον…

Και νυν: Ταις της Θεοτόκου πρεσβείαις Ελεήμον…

Ιδιόμελον. Ήχος πλ. β’.

Στ.: Ελεήμον, ελέησόν με ο Θεός…

Η της Οσιοπαρθενομάρτυρος Ωραιοζήλη μνήμη, εορτή πανευφρόσυνος τη Εκκλησία του Χριστού εδωρήθη. Αύτη γαρ την της ψυχής θύραν, τω θείω Νυμφίω ανοίξασα, κατοικητήριον και ναός της Αυτού χάριτος έμψυχος ανεδείχθη. Μαρτυρικώς δε του κόσμου εξελθούσα, συν πάσι τοις Αγίοις συγκάθεδρος τω Κυρίω γέγονεν, κατά την του Κυρίου υπόσχεσιν· ο νικών, δώσω αυτώ καθίσαι μετ’ εμού εν τω θρόνω μου, ως καγώ ενίκησα και εκάθισα μετά του πατρός μου εν τω θρόνω αυτού. Αυτής ταις ικεσίαις σώσον Κύριε τας ψυχάς ημών.

Είτα οι Κανόνες· της Θεοτόκου, και της Αγίας, ου η ακροστιχίς: Ωραιοζήλης άθλησιν, ύμνοις τιμώ. Νικοδήμου.

Ωδή α'. Ήχος πλ. δ'. Υγράν διοδεύσας.

Ωραίαν υπάρχουσαν τη ψυχή, την Ωραιοζήλην, ανυμνήσαι πανευλαβώς, αξίωσον Κύριε Σον δούλον, εν ταπεινώσει αιτούντα την χάριν Σου.

Ρευστά αρνηθείσα Μάρτυς σεπτή, Χριστώ ηκολούθεις, ως Νυμφίω της σης ψυχής, Αυτόν καθικέτευε απαύστως, υπέρ ημών των τιμώντων την μνήμην σου.

Αξίωσον πάντας σους υμνητάς, ω Ωραιοζήλη, μελετήσαι σην βιοτήν, και άθλησιν θείαν υπέρ Λόγου, ίνα εν έργοις Αυτόν αγαπήσωμεν.

Θεοτοκίον.

Ισχύεις πρεσβείαις Σου προς Χριστόν, αγνή Θεοτόκε, ως κυήσασα εν γαστρί, Θεόν των απάντων, Ον δυσώπει, υπέρ των πίστει τιμώντων Σε άχραντε.

Ωδή γ'. Ουρανίας αψίδος.

Ουρανού κτίστην Λόγον, τοις αδελφοίς έδειξας, ω Ωραιοζήλη εν λόγοις, και εν αθλήμασι, τους σε τιμώντας σεπτή, εν αληθεία και έργοις, ανυμνείν αξίωσον, τον μόνον Κύριον.

Ζωήν θείαν ποθούσα, τω Ιησού δέδωκας, ψυχήν τε και σώμα Αγία, λιπούσα πρόσκαιρα, διο ποθείν και

ημάς, την Βασιλείαν την άνω, και ζωήν την κρείττονα, λιταίς σου δώρησαι.

Ηξιώθης Αγία, της του Χριστού χάριτος, και του μαρτυρίου της δόξης, και αγιότητος, όθεν λιταίς σου αγνή, ημάς αξίωσον έχειν, εν καρδία Κύριον, και ζήλον ένθεον.

Θεοτοκίον.

Λυτρωτήν τοις ανθρώποις, πάσι Χριστόν τέξασα, πρέσβευε Αυτώ Θεοτόκε, υπέρ των δούλων Σου, όπως ρυσθώμεν αγνή, εκ των του κόσμου σκανδάλων, ανυμνούντες Δέσποινα, τα μεγαλεία Σου.

Κάθισμα. Ήχος δ'. Ταχύ προκατάλαβε.

Παρθένον και Μάρτυρα, εν θεοδέκτοις ωδαίς, και λόγοις κηρύττομεν, Ωραιοζήλην πιστοί, εν πάσι τοις έθνεσι, Μάρτυς γαρ αληθείας, του Χριστού ανεδείχθη, χάριτι υπομένει, αικισμούς μαρτυρίου, διο συν τοις πρωτοτόκοις, πάσιν ευφραίνεται.

Δόξα. Και νυν. Θεοτοκίον.

Η μόνη κυήσασα τον ποιητήν του παντός, η μόνη κοσμήσασα την ανθρωπότητα, τω τόκω σου Άχραντε, ρύσαι με των παγίδων, του δολίου Βελίαρ, στήσόν με επί πέτραν, των Χριστού θελημάτων, αυτόν εκδυσωπούσα εκτενώς, ον εσωμάτωσας.

Ωδή δ'. Εισακήκοα Κύριε.

Ηνεώχθησαν Μάρτυρι, αι της Βασιλείας πύλαι ουράνιαι, και ο Λόγος υπεδέξατο, την Αγίαν Μάρτυρα ως πρέσβειραν.

Σαις λιταίς προς τον Κύριον, ω Ωραιοζήλη ημάς περίσκεπε, και παγίδας του αλάστορος, τη ση χάριτι ταχύ διάλυσον.

Από ζάλης και θλίψεως, ω Ωραιοζήλη πιστούς διάσωσον, και εκ πάσης περιστάσεως, και εχθρών ψυχής ομού και σώματος.

Θεοτοκίον.

Θεοδόξαστε πάναγνε, Σου Υιού την χάριν ημίν κατάπεμψον, ίνα πάντες αποφύγωμεν, του δολίου δράκοντος τα ένεδρα.

Ωδή ε᾽. Φώτισον ημάς.

Λύτρωσιν ψυχής, σαις πρεσβείαις ημίν δώρησαι, Ωραιοζήλη Μάρτυς του Ιησού, και την ειρήνην, την πάντα νουν υπερέχουσαν.

Ήδιστον ημίν, ανυμνείν τα σα αθλήματα, και εκζητείν λιτάς σου προς τον Χριστόν, ίνα ρυσθώμεν, Αγία της κατακρίσεως.

Σύνεσιν ψυχής, και διάκρισιν παράσχου μοι, και την χαράν την θείαν του ουρανού, Ωραιοζήλη, λιταίς σου προς τον Φιλάνθρωπον.

Θεοτοκίον.

Ίασίν μοι δος, Θεοτόκε και κραταίωσιν, και εν αγώσι νίκας κατ᾽ εχθρών, ίνα εισέλθω, εις χώραν της καταπαύσεως.

Ωδή στ’. Την δέησιν.

Νενίκηκας, του εχθρού φρυάγματα, και συνέτριψας αυτού τας παγίδας, ότι Χριστός, εν ψυχή σου κατώκει, και δι’ Αυτού κατενίκας τον δράκοντα, σου δέομαι Μάρτυς Χριστού, εκ βελών αντιδίκου διάσωσον.

Υψώσασα, προς Θεόν το φρόνημα, απηρνήθης τα επίκηρα κόσμου, και τελευτήν, των Μαρτύρων ποθούσα, καθωμολόγεις Χριστόν ως Θεάνθρωπον, διο ετύθης θαυμαστώς, ως αρνίον Χριστού καλλιπάρθενε.

Μυρίπνοον, του Χριστού οσφράδιον, αληθώς Ωραιοζήλη εδείχθης, ότι δεινώς, ασεβούντων την πλάνην, εν μαρτυρίω και λόγοις κατήσχυνας, και θαύμασι τον Ιησούν, λυτρωτήν των ανθρώπων εκήρυξας.

Θεοτοκίον.

Νεάνις, τον Ιησούν εγέννησας, υπέρ φύσιν τε και λόγον ως βρέφος, και εν χερσί, τον Θεόν ηγκαλίσω, και εκ μαζών Σου Αυτόν εγαλούχησας, διο ως Μήτηρ του Θεού, υπέρ πάντων Αυτόν καθικέτευε.

Κοντάκιον. Ήχος β’. Τα άνω ζητών.

Χριστόν τον Θεόν, ηγάπησας χριστόνυμφε, Ανδρέου κλεινού, πεισθείσα τω κηρύγματι, εν χαρά εκήρυξας, θεοδώρητον πίστιν τοις έθνεσιν, τη ομολογία δε Χριστού, εστέφθης ως Μάρτυς, εν τη άνω Σιών.

Ο Οίκος.

Η των πρωτοτόκων χορεία, εν ουρανοίς εορταστικώς, τη καλλινίκω Μάρτυρι Ωραιοζήλη συναγάλλεται. Αύτη γαρ, του πρωτοκλήτου Ανδρέου ενωτισθείσα τους λόγους, και υπ’ αυτού βαπτισθείσα, τω Νυμφίω Χριστώ και τη Αυτού Εκκλησία ολοψύχως αφιερώθη. Δια προσευχής αγρυπνίας και νηστείας πνευματικώς ενασκηθείσα, ως ισαπόστολος τον Χριστόν τοις έθνεσιν, ως μόνον αληθή Θεόν εκήρυξεν. Εν παρρησία δε την προς τον Λόγον πίστιν ομολογήσασα, και πολλάς βασάνους και μαρτύρια υπομείνασα, δι’ αποκεφαλισμού ετελειώθη, στεφθείσα ως Μάρτυς εν τη άνω Σιών.

Συναξάριον

Τη αυτή ημέρα, Μνήμη της Αγίας Μάρτυρος Ωραιοζήλης.

Εις πυρ βληθείσα Ωραιοζήλη, Λόγε,
άπασι βρύει τους κρουνούς των θαυμάτων.
Έκτη εικοστή φλογί Ωραιοζήλη εβλήθη

Ωδή ζ’. Οι εκ της Ιουδαίας.

Οι πόθω εκτελούντες σεβασμίαν σου μνήμην Ωραιοζήλη σεμνή, κηρύττομεν εν κόσμω, τα θαύματά σου Μάρτυς, και βοώμεν προς Κύριον· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ισχύειν εν Κυρίω κατά πλάνης αθέων Ωραιοζήλη αγνή, στηρίζεις δε εν πίστει, ορθοδόξων τα πλήθη,

των βοώντων προς Κύριον· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Στεφθείσα επαξίως υπό του Θεανθρώπου Ωραιοζήλη σεπτή, συμψάλλεις μετ' Αγγέλων, και πάντων των Αγίων, των βοώντων προς Κύριον· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θεοτοκίον.

Τεκούσα Θεόν Λόγον ανεδείχθης Παρθένε η θεοδόχος σκηνή, ικέτευε Σον Τόκον, υπέρ των Σων υμνούντων, και φαιδρώς συμψαλλόντων Σοι· Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ωδή η'. Τον Βασιλέα.

Ισχύν λαβούσα, Ωραιοζήλη Κυρίου, μαρτυρεί υπέρ Τούτου και ψάλλει· τον Χριστόν δοξάζω, εις πάντας τους αιώνας.

Μιμησαμένη, των πρωτοτόκων τους άθλους, η Αγία υμνεί Θεόν Λόγον, συν Αγίοις πάσιν, εις πάντας τους αιώνας.

Τριαδικόν.

Ωραιοζήλη, ομολογούσα Τριάδα, συν Αγίοις αεί σαββατίζει, ανυμνολογούσα, Αυτήν εις τους αιώνας.

Θεοτοκίον.

Ναόν του Λόγου, και ουρανών Πλατυτέραν, Σε Παρθένε κηρύττομεν ύμνοις, και δοξολογούμεν, Χριστόν εις τους αιώνας.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Ικέτευε τον Λόγον, Ον καθωμολόγεις, Ωραιοζήλη θεόφρον ως μόνον Θεόν, του οικτειρήσαι και σώσαι,τους ανυμνούντάς σε.

Κραταίωσον τους πόθω, σε επευφημούντας, Ωραιοζήλη εν πίστει και βίω σεμνώ, και εν παλαίσμασι θείοις, και αγωνίσμασιν.

Ομότροπον Μαρτύρων, σε ομολογούμεν, Ωραιοζήλη Αγία Χριστού Αθλητών, και βιαστών πρωτοτόκων, πιστόν αντίτυπον.

Θεοτοκίον.

Δεσπότου την Μητέρα, τιμήσωμεν εν ύμνοις, την των πιστών προστασίαν και σκέπην σεπτήν, των Ασωμάτων τε δόξαν, και το εντρύφημα.

Εξαποστειλάριον. Ήχος β’. Γυναίκες ακουτίσθητε.

Την θείαν καλλιμάρτυρα, εν ύμνοις ευφημήσωμεν, ζήλον γαρ έχουσα θείον, Μαρτύρων είληφε χάριν, Κύριον τον Θεάνθρωπον, εν αικισμοίς εκήρυξε, είδωλα αθεότητος, δυνάμει Πνεύματος θείου, ψευδή απέδειξε πάσιν.

Θεοτοκίον.

Μαρίαν την Θεόνυμφον, την τέξασαν τον Κύριον, πάντες εκ πόθου τιμώμεν, ζωής γαρ γέγονε Μήτηρ, Τράπεζα άρτον φέρουσα, Λυχνία η φωτίζουσα, Σκέπη δε κατασκέπουσα, πιστών Χριστού τας καρδίας, υπάρχει η Θεοτόκος.

Αίνοι. Ήχος πλ. δ’. Όλην αποθέμενοι.

Δεύτε ευφημήσωμεν, Ωραιοζήλην εν ύμνοις, και αυτής σαλπίσωμεν, αρετάς μαρτύριον και τελείωσιν, μαθητού γέγονε, του Ανδρέου τέκνον, και Χριστού πιστόν αντίτυπον, λιπούσα άπασαν, την επί της γης ματαιότητα, δυνάμει τε εκήρυξε, πίστιν εις Χριστόν και αλήθειαν, και κατηξιώθη, τυθήναι ώσπερ σφάγιον Αυτώ, και εισελθείν εις ουράνιον, παστάδα η ένδοξος. (Δις)

Ύμνοις εορτάσωμεν, Ωραιοζήλης την μνήμην, των πιστών ο σύλλογος, και εν εγκωμίοις επευφημήσωμεν, των πιστών γέγονε, μαρτυρίας τύπος, αγρυπνίας το υπόδειγμα, νηστείας πρότυπον, και ομολογίας αγλάϊσμα, Μαρτύρων εγκαλλώπισμα, και της καρτερίας διδάσκαλος, όθεν ο Δεσπότης, εισήγαγεν αυτήν εις ουρανούς, σαββατισμόν δωρησάμενος, και ζωήν αιώνιον.

Πνεύματι υπέμεινεν, Ωραιοζήλη η θεία, αικισμούς του σώματος, και πικρόν μαρτύριον η πανεύφημος, τοις πιστοίς έδειξε, Τρισαγίου δόξαν, και αθλήσεως το εύτονον, θυσίαν ένθεον, και εν μαρτυρίω τελείωσιν, τρανώς δε διεκήρυξε, την ειδωλικήν ματαιότητα, όθεν επαξίως, εισήλθεν εις νυμφώνα φωτεινόν, και αιωνίως αγάλλεται, συν πάσιν τοις Μάρτυσιν.

Δόξα. Ήχος πλ. δ’.

Της ασκήσεως το σεπτόν εγκαλλώπισμα, και της οσιότητος το μέγα κειμήλιον, Ωραιοζήλην την Οσιοπαρθενομάρτυρα, εν ωδαίς πνευματικαίς

μεγαλύνωμεν. Αύτη γαρ την Βασιλείαν του Θεού ποθούσα, και τον της ψυχής Νυμφίον Χριστόν μανικώς αγαπήσασα, τας της σαρκός απολαύσεις και τα του κόσμου τερπνά εις ουδέν ελογίσατο, όθεν αγγελικώς βιώσασα ως Οσιοπάρθενος και τοις εν σκότει καθεύδουσιν, ως απόστολον τον Χριστόν κηρύξασα, ενδόξως και μαρτυρικώς ετελειώθη. Αυτής πρεσβείαις σώσον Κύριε τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού του υψίστου, σων οικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν των πταισμάτων, νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάρια.

Δεύτε καταστέψωμεν εν ωδαίς, την Ωραιοζήλην, του Ανδρέου τέκνον λαμπρόν, την υπέρ του Λόγου, ως σφάγιον τυθείσαν, εν δόξη δε στεφθείσαν, θείοις εν δώμασιν.

Της Ωραιοζήλης τας αρετάς, πίστιν προς Τριάδα, αγρυπνίαν και προσευχήν, νηστείαν και βίαν, θυσίαν υπέρ Λόγου, τιμήσωμεν ενθέως, και μεγαλύνωμεν.

